


## 6. Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Περὶ τὰς ἀρχὰς τοῦ 30 ἔτους τῆς ἡλικίας τοῦ Ἰησοῦ, Ἰωάννης ὁ πρόδρομος, ὁ τὴν αὐτὴν σχεδὸν ἔχων ἡλικίαν (ὡς μῆνας ἓξ μόνον προγενέστερος τοῦ Ἰησοῦ), καὶ παιδιόθεν ἕως τότε διατρίβων ἐν τῇ ἐρήμῳ, λαβὼν πρόσταγμα παρὰ Θεοῦ, ἦλθεν εἰς τὰ περίχωρα τοῦ Ἰορδάνου καὶ ἐκήρυττε βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Τότε καὶ ὁ Ἰησοῦς, ἐλθὼν ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην, ἐζήτησε καὶ ἔλαβε παρὰ τοῦ δούλου ὁ Δεσπότης τὸ βάπτισμα, ἐν ᾧ συνέβησαν τὰ παράδοξα ἐκεῖνα καὶ ὑπερφυῆ· ἤτοι, ἀνεῴχθησαν οἱ οὐρανοί, τὸ Πνεῦμα κατῆλθεν ἐπὶ τὸν βαπτιζόμενον ἐν εἴδει περιστερᾶς καὶ φωνὴ ἠκούσθη ἐκ τῶν οὐρανῶν μαρτυροῦσα ὅτι οὗτος ἦν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ ἀγαπητός, ὁ ἐκεῖ τότε ὡς ἄνθρωπος βαπτιζόμενος (Ματθ. γ΄13-17. Μάρκ. α΄ 9-12. Λουκ. γ΄ 1-23). Ἐκ τούτων ἀνεδείχθη τοῦ Ἰησοῦ ἡ θεότης καὶ τῆς Τριάδος τὸ μέγα μυστήριον· ἐκ τούτων καὶ ἡ παροῦσα ἑορτὴ ὀνομάζεται **Θεοφάνεια** ἢ **Θεοφάνια,** ὅ ἐστι Θεοῦ φανέρωσις ἐν ἀνθρώποις. Ἀπὸ ταύτης τῆς σεβασμίας ἡμέρας χρονολογεῖται τὸ βάπτισμα τῶν χριστιανῶν· ἀπὸ ταύτης ἤρξατο καὶ τῆς βασιλείας τῶν οὐρανῶν τὸ σωτήριον κήρυγμα.

### Ἀργία, καὶ κατάλυσις εἰς πάντα.

### Ἀπολυτίκιον. Ἦχος α΄.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.